X 17/4

# ΟΡΦΕΥΣ

> Φιλοστράτου:
> Ἀπολλώνιος
> Τυανεύς
> Βιβ. Δ΄. (14)

Παρῆλθε καὶ ἐς τὸ τοῦ Ὀρφέως ἄδυτον προσορμισάμενος τῇ Λέσβῳ.

Φασὶ δὲ ἐνταῦθά ποτε τὸν Ὀρφέα μαντικῇ χαίρειν, ὡς τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτῆς. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι, μήτε ἐς Κλάρον, μήτ' ἔνθα ὁ τρίπους ὁ Ἀπόλλωνος.

Ὀρφεὺς δὲ ἔχρα μόνος, ἄρτι ἐκ Θρᾴκης ἡ κεφαλὴ ἥκουσα.

ἐφίσταται οἱ χρησμῳδοῦντι ὁ θεός, καὶ πέπαυσο ἔφη, τῶν ἐμῶν, καὶ γὰρ δὴ ᾄδοντά σε ἱκανῶς ἤνεγκα.

> Φιλοστράτου:
> Ἡρωϊκά.
> Κεφ. Ε΄. (3)

Λέσβου δὲ ὀλίγον ἀπεχούσης τοῦ Ἰλίου ἔμελλον ἐς τὸ ἐκεῖ μαντεῖον τοὺς Ἕλληνας.

Ἔχρα δὲ οἶμαι ἐξ Ὀρφέως.

Ἡ κεφαλὴ γὰρ μετὰ τὸ τῶν γυναικῶν ἔργον ἐς Λέσβον κατασχοῦσα, ῥῆγμα τῆς Λέσβου ᾤκησε, καὶ ἐν κοίλῃ τῇ γῇ ἐχρησμῴδει.

ὅθεν ἐχρῶντό τε αὐτῇ τὰ μαντικὰ Λέσβιοί τε καὶ τὸ ἄλλο Αἰολικόν, καὶ Ἴωνες Αἰολεῦσι πρόσοικοι. χρησμοὶ δὲ τοῦ μαντείου τούτου καὶ ἐς Βαβυλῶνα ἀνεπέμποντο.

πολλὰ γὰρ καὶ ἐς τὸν ἄνω βασιλέα ἡ κεφαλὴ ᾖδε.

Κύρῳ τε τῷ ἀρχαίῳ χρησμὸν ἐκεῖθεν ἐκδοθῆναι λέγεται.

«τὰ ἐμά, ὦ Κῦρε, σά».

καὶ ὁ μὲν οὕτως ἐγίνωσκεν.

ὡς Ὀδρύσας τε καὶ τὴν Εὐρώπην καθέξων, ἐπειδὴ Ὀρφεύς ποτε, κατὰ καὶ τοῦ σοφοῦ καὶ δυνατὸς γενόμενος,

ἀκολουθεῖ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀνά τε Ὀδρύσας ἴσχυσεν, ἀνά τε Ἕλληνας, ὁπόσοι τελεταῖς ἐθείαζον.

ὅδ᾽ οἶμαι τὰ ἐναντία πείσεσθαι ἐδήλου τὸν Κῦρον.

ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον, ἐπὶ Μασσαγέτας τε καὶ Ἰσσηδόνας, τὰ δὲ ἔθνη ταῦτα Σκύθαι, ἀπέθανέ τε ὑπὸ γυναικός, ἣ τούτων ἦρχε τῶν βαρβάρων, καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου κεφαλήν, καθάπερ αἱ Θρᾷτται τὴν Ὀρφέως.